This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

6000103621

32.

718.

SOPHOCLIS

PHILOCTETAE

CARMINA ANTISTROPHICA

EORUMQUE METRA

DESCRIPSIT

G. C. F. LISCH,

GYMNASII FRIDERICIANI SUERINENSIS COLLABORATOR.

LIPSIAE

SUMTIBUS A. LEHNHOLDI

MDCCCXXXII.

718.

Mirum haud paucis videatur, me quoque rem, de qua doctissimi viri optime meriti sint, tractasse atque immortalis poëtae monumenta labefacta restituere ausum esse; multoque magis mirentur, quum novissimis temporibus de verâ tragoediae tractandae ratione testes certissimi in lucem prodierint: sed cum discipulis altum Sophoclis volatum contemplari conanti, tot quae coelum obducebant nubes adspectum saepe obscurarunt, ut gaudium vix perceptum nobis eriperent. Etsi viri docti, ut verborum sententiarumque verum contextum expedirent, in verbis explicandis, in sententiis enarrandis, in locis corruptis emendandis miram eruditionem ingeniumque acutissimum exhibuerunt; etsi artis metricae praecepta, quae veterum grammaticorum temeritate perturbata jacebant, satis expedita evaserunt: tamen hactenus in melicis fabularum carminibus explanandis non eo progressi sumus, ut ex omni parte splendidas poëtae virtutes perspectas habeamus. Quid multa? Numerorum leges incredibili pulchritudine sententiarum crebritatem sustentant atque complectuntur; numeri sententias non solum ornant, sed etiam personarum animum mentemque interpretantur, ita ut numeri a sententiis disjungi non possint. Metrorum leges ex eorum fontibus deducere, meum non est; splendent *Hermanni* et *Boeckhii* virtutes, in-

habebunt; sufficiat tamen, aliquot locos afferre, qui nulla ratione rejiciendi sunt:

1088 ἀπ' ἐμοῦ τάλαν
1108 ἀπ' ἐμῶν ὅπλων

1099 παρόν
1120 ἀρᾶν.

1138 ὅσ' ἐφ' ἡμῖν
1160 ὅσα πέμπει

172 μόνος αἰεί
182 μοῦνος ἀπ' ἄλλων

178 οἷς μή
190 οἰμωγᾶς

205 κατ' ἀνάγκαν
215 ὑπ' ἀνάγκας

838 καιρός τοι πάντων γνώμαν ἴσχων
853 εἰ ταύταν τούτῳ γνώμαν ἴσχεις

839 πολὺ παρὰ πόδα
854 μάλα τοι ἄπορα.

Equidem, hac re commotus, majore fiducia tres lacunas explevi verbis, quae a viris ingeniosis ante me conjecta erant: v. 1134 [γάρ] ex verbo antistrophico v. 1155 σαρκός, v. 1138 [ἀνήρ] ex v. ant. 1160 αἰα, v. 850 [φροντίζων] ex v. ant. 834 τάντεῦθεν φροντίδος.

Facile fuerit, eruditionis speciem prae me ferre et ex doctorum libris breviore tempore multa coacervare, sed summam operam in eo collocandam putavi, ut adolescentibus pulchritudinis imaginem hoc in artis admirandae monumento adumbratam ante oculos ponerem. Qui artem metricam perspectam habent, conatus meos in mitiorem partem interpretentur.

SOPHOCLIS PHILOCTETAE

CARMINA ANTISTROPHICA.

ΧΟΡΟΣ.

στροφὴ ά.

Τί χρή, τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον
στέγειν, ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
φράζε μοι. τέχνα γὰρ
τέχνας ἑτέρας προΐχει,
καὶ γνώμα, παρ' ὅτῳ τὸ θεῖον
Διὸς σκῆπτρον ἀνάσσεται.*)
σὲ δ', ὦ τέκνον, τόδ' ἐλήλυθεν
πᾶν κράτος ἀγγίχυρον· τόμῳ ἔπεσε,
τί σοι χρεὼν ὑπουργεῖν.

ἀντιστροφὴ ά.

μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ,
φρουρεῖν ὅμμ' ἐπὶ σῷ μάλιστα καιρῷ·
νῦν δέ μοι λέγ' αὐλὰς
ποίας ἔνεδρος ναίει,
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ μοι
μαθεῖν οὐκ ἀποκαίριον,
μὴ προσπεσών με λάθῃ πονεύν,
τίς τόπος, ἢ τίς ἕδρα, τίν' ἔχει στίβον,
ἔναυλον, ἢ θυραῖον.

*) ἀνίσσεται Vir cl. *J. Huschkius* in scholia emend.

στροφὴ καὶ ἀντιστροφὴ α.

1) ⏑ – , ⏑ — , ⏑ – , ⏑ — , ⏑ – , ⏑ — 135
2) ⏑ – | – ⏑ ⏑ , – ⏑ , — ⏑ , — — "
3) – ⏑ , ⏑ , — ⏑ "
4) ⏑ | – ⏑ ⏑ — , – — "
5) – – | – ⏑ ⏑ , – ⏑ , — ⏑ "
6) ⏑ – | – ⏑ ⏑ , – ⏑ ⏑ 140
7) ⏑ – ⏑ | – ⏑ ⏑ , – ⏑ ⏑ "
8) – ⏑ ⏑ , – ⏑ ⏑ , – ⏑ ⏑ , – ⏑ ⏑ "
9) ⏑ – , ⏑ — , ⏑ – , ⏑ 145

(10)

Strophe et antistrophe α.

1) **Hexapodia jambica.**
2) **Phalaeceus hendecasyllabus.**
3) **Tripodia trochaica s. Ithyphallicus.**
4) **Dimeter choriamb. catal. c. anacrusi.**
5) **Logaoedicus dact. c. basi.**
6) **Glyconeus.**
7) **Glyconeus polyschematistus.**
8) **Tetrameter dactylicus.**
9) **Dimeter jambicus catal.**

(10)

ΧΟΡΟΣ.

στροφὴ β'.

οἰκτείρω νιν ἔγωγ', ὅπως,
μή του κηδομένου βροτῶν
μηδὲ σύντροφον ὄμμ' ἔχων,
δύστανος, μόνος αἰεί,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντὶ τῳ
χρείας ἱσταμένῳ. πῶς ποτε, πῶς δύσμορος ἀντέχει;
ὦ παλάμαι θεῶν, *)
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.

ἀντιστροφὴ β'.

οὗτος πρωτογόνων ἴσως
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ' ἄλλων,
στικτῶν ἢ λασίων μετὰ
θηρῶν, ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρός, ἀνήκεστα μεριμνήματ' ἔχων βάρει. **)
ἀ ***) δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικρᾶς
οἰμωγᾶς ὑπόκειται.

---

*) *Lachmanni* conj. *θεῶν* recepi; Neoptolemi verbis adducta v. 190 sq. *θεῖα γάρ, εἴπερ κἀγώ τι φρονῶ, — τὰ παθήματα κεῖνα* etc.

**) Scripsi *βάρει* i. e. *vitae angustiis (pressus)*; similiter Trach. 235 *οἱ νόσῳ βαρύν*. cf. Eur. Phoen. 1655; Hec. 703; Soph. Oed. T. 17. — Mihi verum videtur *βάρεῖα*.

***) Carminis structura: *οὗτος — — κεῖται, — ἀ δ' — ἀχὼ — ὑπόκειται* tuetur Boeckhii correctionem.

στροφὴ καὶ ἀντιστροφὴ β'.

1) ⏑ – | – ∪ ∪ – , – ∪ –
2) ⏑ – | – ∪ ∪ – , – ∪ ⏑
3) ⏑ ⏑ | – ∪ ∪ – , – ∪ –
4) ⏑ – | – ∪ ∪ – , – –
5) ⏑ – | – ∪ ∪ – , – ∪ ⏑
6) ⏑ – | – ∪ ∪ – , – ∪ –
7) ⏑ – | – ∪ ∪ – , – ∪ ∪ – | – ∪ ∪ – , – ∪ –
8) ⏑ ∪ ∪ , – ∪ ⏑
9) ⏑ – | – ∪ ∪ – , – ∪ –
10) ⏑ – | – ∪ ∪ – , – –

Strophe et antistrophe β.

1) Glyconeus.
2) Idem.
3) Idem.
4) Pherecrateus.
5) Glyconeus.
6) Glyconeus.
7) Basis, dimeter choriambicus, logaoedicus dact.
8) Logaoed. dact.
9) Glyconeus.
10) Pherecrateus.

στροφὴ γ΄.

1) ΧΟ. εὔστομ' ἔχε, παῖ. ΝΕ. τί τόδε;
ΧΟ. προὐφάνη κτύπος,
2) φωτὸς σύντροφος ὡς τειρομένου του,
3) ἤ που τῇδ' ἢ τῇδε τάπων;
4) βάλλει, βάλλει μ' ἐτύμα
5) φθογγά του στίβου κατ' ἀνάγκαν
6) ἕρποντος, οὐδέ με λάθει
7) βαρεῖα τηλόθεν αὐδὰ
8) τρῦσάνωρ· διάσημα γὰρ θροεῖ. *)

ἀντιστροφὴ γ΄.

1) ΧΟ. ἀλλ' ἔχε, τέκνον, — ΝΕ. λέγ' ὅ τι
ΧΟ. φροντίδας
2) ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνὴρ,
3) οὐ μολπὰν σύριγγος ἔχων,
4) ὡς ποιμὴν ἀγροβότας,
5) ἀλλ' ἤ που πταίων ὑπ' ἀνάγκας
6) βοᾷ τηλεπόμπους
7) ἢ ναὸς ἄξενον ὅρμον
8) αὐγάζων. προβοᾷ τι γὰρ δεινόν.

*) *Wunderus* ὀρῆνεῖ conjecit; quo jure, non intelligo. Caeterum cf. Trach. 868 ἠχεῖ τις οὐκ ἄσημον — — κακυτόν.

στροφὴ καὶ ἀντιστροφὴ γ'.



Strophe et antistrophe γ'.

Trimeter trochaicus catal.

Basis, choriambus, logaoedicus dact.

Glyconeus.

Glyconeus polyschem.

Glyconicus.

Idem.

Idem.

Basis, logaoed. dact.

ΧΟΡΟΣ.

στροφή.

1) Ὀρεστέρα παμβῶτι Γᾶ, μᾶτερ αὐτοῦ Διός,
2) ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
3) σὲ κἀκεῖ, μᾶτερ πότνι', ἐπῳδώμαν,
4) ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν ὕβρις πᾶσ' ἐχώρει,
5) ὅτε τὰ πάτρια τεύχεα παρεδίδοσαν,
6) ἰὼ μάκαιρα ταυροκτόνων
7) λεόντων ἔφεδρε, τῷ Λαρτίου
8) σέβας ὑπέρτατον.

ἀντίστροφη.

1) οἰκτειρ', ἄναξ· πολλῶν ἔλεξα δυσκάστων πάρα
2) ἄθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
3) εἰ δὲ πικρούς, ἄναξ, ἔχθεις Ἀτρείδας,
4) ἐγὼ μὲν τὸ κείνων κακὸν τῷδε κέρδος
5) μετατιθέμενος, ἔνθαπερ ἐπιμέμονεν,
6) ἐπ' εὐστόλου ταχείας νεὼς
7) πορεύσαιμ' ἂν ἐς δόμους, τὰν θεῶν
8) νέμεσιν ἐκφυγών.

στροφὴ καὶ ἀντιστροφή.



Strophe et antistrophe.

Dimeter jambicus, dimeter creticus.
Trimeter jambicus.
Dimeter dochmiacus.
Tetrameter bacchiacus.
Dimeter dochm.
Dipodia jambica, dochmius.
Dimeter dochm.
Dochmius.

ΧΟΡΟΣ.

στροφὴ ά.

1) Λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα,
2) τὸν πελάταν λέκτρων ποτὲ τῶν Διὸς
3) *) κατ' ἄμπυκα δὴ δρομάδ' ὡς βάλε **) δέσμιον ὁ
παγκρατὴς Κρόνου παῖς·
4) ἄλλον δ' οὔτιν' ἔγωγ' οἶδα κλύων, οὐδ' ἐσίδον μοίρᾳ
5) τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
6) ὃς οὔτ' ἔρξας τίν', οὔτε νοσφίσας,
7) ἀλλ' ἴσος ἔν γ' ἴσοις ἀνὴρ
8) ὤλλυθ' ὧδ' ἀναξίως.
9) τόδε δ' αὖ θαῦμά μ' ἔχει, πῶς
10) ποτέ, πῶς ποτ' ἀμφιπλήκτων
11) ῥοθίων μόνος κλύων, πῶς
12) ἄρα πανδάκρυτον οὕτω
13) βιοτὰν κατέσχεν

ἀντιστροφὴ β'.

1) ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν,
2) οὐδέ τιν' ἐγχώρων, κακογείτονα,
3) παρ' ᾧ στόνον ἀντίτυπον βαρυβρῶτ' ἀποκλαύσαιτο
αἱματηρόν·
4) ὃς τὰν θερμοτάταν αἱμάδα κηκιομέναν ἑλκέων
5) ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
6) κατευνάσειεν, εἴ τις ἐμπέσοι,
7) φορβάδος ἔκ τε γᾶς ἐλεῖν·
8) εἶρπε δ' ἄλλον ἄλλοτε,
9) τότ' ἂν εἰλυόμενος, παῖς
10) ἄτερ ὡς φίλας τιθήνας,
11) ὅθεν εὐμάρειά τ' ὑπάρχοι,
12) πόρον, ἀνίκ' ἐξανείη
13) δακέθυμος ἄτα.

---

*) Ἰξιόνα omisi; ex verbis τὸν πελάταν etc. satis superque apparet, de quo agatur.

**) βάλε scripsi metri causa; in metro Aeolico haec forma offendere non potest.

στροφὴ καὶ ἀντιστροφὴ α.

⏑ ⏓, ⏑—, —̆ ⏓, ⏑—, ⏑⏓, ⏑⏑ 676
⏓⏑⏑, ⏓ —̆, ⏓⏑⏑, ⏓⏑⏑
⏑ | ⏓⏑⏑, ⏓⏑⏑, ⏓⏑⏑, ⏓⏑⏑ | ⏑ | ⏓⏑, 680
—⏑ | — —̆
⏓ ⏓ | ⏓⏑⏑—, ⏓⏑⏑— | ⏓⏑⏑, ⏓ — —
⏓ ⏓ | ⏓⏑⏑, ⏓⏑, —⏑, — —
⏑ | ⏓ ⏓ | ⏓⏑, —⏑, —⏑, —
⏓⏑⏑, ⏓⏑, —⏑, — 685
⏓⏑, —⏑, —⏑, —̆
⏑⏑⏓ ⏓, ⏑⏑⏓ ⏓
⏑⏑⏓⏑, —⏑⏓ —
⏑⏑⏓⏑, —⏑⏓ —
⏑⏑⏓⏑, —⏑⏓
⏑⏑⏓⏑, ⏓ ⏑ 690

Strophe et antistrophe α.

Hexapodia jambica.
Tetrameter dactyl.
Tetrameter dactyl. c. anacr., tripodia trochaica c. anacr.

Basis, Dimeter choriamb., logaoedicus.
Phalaeceus hendecasyl.
Anacrusis, Basis, Tetrapodia troch. catal.
Logaoedicus.
Tetrap. troch. cat.

Metrum Jonicum a minore, denos pedes, plerumque ἀνακλωμένους (Anacreonteos) exhibens, quorum ultimus catalecticus.

ΧΟΡΟΣ.

στροφὴ β'.

1) οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον, οὐκ ἄλλων
2) αἴρων, τῶν νεμόμεσθ' ἀνέρες ἁλφησταί,
3) πλὴν ἐξ ὠκυβόλων εἴποτε τόξων
4) πτανοῖς ἰοῖς ἀνύσειε γαστρὶ φορβάν.
5) ὦ μελέα ψυχά,
6) ὃς μηδ' οἰνοχύτου πώματος ἥσθη δεκέτει χρόνῳ,
7) λεύσσων δ' εἴ που γνοίη στατόν εἰς ὕδωρ
8) αἰεὶ προσενώμα.

ἀντιστροφὴ β'.

1) νῦν δ' ἀνδρῶν ἀγαθῶν παιδὸς ὑπαντήσας
2) εὐδαίμων ἀνύσει καὶ μέγας ἐκ κείνων·
3) ὅς νιν ποντοπόρῳ δούρατι, πλήθει
4) πολλῶν μηνῶν πατρῴαν ἄγει πρὸς αὐλὰν
5) Μηλιάδων νυμφᾶν,
6) Σπερχείου τε παρ' ὄχθαις, ἵν' ὁ χάλκασπις ἀνὴρ θεοῖς
7) πλάθει πᾶσιν, θείῳ πυρὶ πάμφαής,
8) Οἴτας ὑπὲρ ὄχθων.

στροφὴ καὶ ἀντιστροφὴ β'.



Strophe et antistrophe *β'*.

) Trimeter choriambicus catal. cum basi.
) Idem.
) Basis, choriambus, logaoedicus.
) Logaoedicus cum basi et anacr.
) Dimeter choriamb. catal.
) Basis, Dimeter choriamb., logaoedicus (s. Dochmius).
) Dimeter dochmiacus.
) Dochmius (s. Logaoedicus).

ΧΟΡΟΣ.

στροφή.

1) Ὑπὲρ ὀδύνας ἀδαής, Ὑπνε δ' ἀλγέων,
2) εὐαὴς ἡμῖν ἔλθοις,
3) εὐαίων, εὐαίων ὤναξ·
4) ὄμμασι δ' ἀντίσχοις τάνδ' αἴγλαν,
5) ἃ τέταται τανῦν.
6) ἴθι, ἴθι μοι παιών.
7) ὦ τέκνον, ὅρα ποῖ στάσει,
8) ποῖ δὲ βάσει, πῶς δὲ μοι τἀντεῦθεν
9) φροντίδος. ὁρᾷς ἤδη·
10) πρὸς τί μενοῦμεν πράσσειν;
11) καιρός τοι πάντων γνώμαν ἴσχων
12) πολὺ παρὰ πόδα κράτος ἄρνυται.

ἀντιστροφή.

1) ἀλλὰ, τέκνον, τάδε μὲν θεὸς ὄψεται·
2) ὧν δ' ἂν κἀμείβῃ μ' αὖθις,
3) βαιάν μοι, βαιάν, ὦ τέκνον,
4) πέμπε λόγων φήμαν· ὡς πάντων
5) ἐν νόσῳ εὐδρακὴς
6) ὕπνος ἄϋπνος λεύσσειν.
7) ἀλλ' ὅτι δύνᾳ μάκιστον,
8) κεῖνο λάθρᾳ, κεῖνό μοι [φροντίζων]
9) ἐξιδοῦ, ὅ τι πράξεις.
10) οἶσθα γὰρ ὧν αὐδῶμαι,
11) εἰ ταύταν τούτῳ γνώμαν ἴσχεις,
12) μάλα τοι ἄπορα πυκινοῖς ἰδεῖν.*)

---

*) Libri: πυκινοῖσιν ἐνιδεῖν πάθη. Lectio manifesto depravata est; | natus est iste homo (Ulixes).

στροφὴ καὶ ἀντιστροφή.



827

830

835

839

Strophe et antistrophe.

Tetrameter dactyl. acatal.
Tetram. dact. catal.
Tetram. dact. acatal.
Idem.
Dimeter dactyl. (Logaoedicus).
Tripodia jambica.
Dimeter troch. catal.
Monometer troch., Tripodia troch.
Tripodia troch.
Trimeter dactyl.
Pentapodia troch. catal.
Dimeter troch. catal. c. basi.

ἐπῳδός.

1) σὺρός τοι, τέκνον, οὖρος·
2) ἀνὴρ δ' ἀνόμματος, οὐδ' ἔχων
3) ἀρὼγάν, ἐκτέταται νύχιος,
4) (ἀλεὴς δ' ὕπνος ἐσθλός),
5) οὐ χερός, οὐ ποδός, οὔ τινος ἄρχων,
6) ἀλλά τις ὢν Ἅιδᾳ παρακείμενος.
7) ὅρα· βλέπ' εἰ καίρια φθέγγει.
8) τὸ δ' ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ,
9) πόνος ὁ μὴ φοβῶν κράτιστος.

ἐπῳδός.

1) ⏑ – ⏑ – | ⏑ – ⏑ ⏑ , — ⏑ 855
2) ⏑ – ⏑ – ⏓ | ⏑ – ⏑ ⏑ , ⏑ – ⏑ —
3) ⏓ ⏑ – ⏑ – | ⏑ – ⏑ ⏑ , ⏑ – ⏑ ⏑
4) ⏑ – ⏓ | ⏑ – ⏑ ⏑ , — ⏑
5) ⏑ – ⏑ ⏑ , ⏑ – ⏑ ⏑ , ⏑ – ⏓ ⏑ , ⏑ — 860
6) ⏑ – ⏑ ⏑ , ⏑ – ⏑ ⏑ , ⏑ – ⏑ ⏑ , ⏑ – ⏑ ⏑
7) ⏓ ⏑ – | ⏓ ⏑ – , ⏑ – ⏑ ⏑ , — —
8) ⏓ ⏓ | ⏑ – ⏑ ⏑ ‖ ⏓ ⏑ – | ⏑ – ⏑ ⏑ , —
9) ⏑ ⏑ , — ⏑ , ⏑ – ⏑ , ⏑ – ⏑ 864

Epodus.

1) Pherecrateus.
2) Glyconeus polysch.
3) Idem.
4) Pherecrateus.
5) Tetrameter dactyl.
6) Idem.
7) Glyconicus.
8) Glyconicus compositus.
9) Dimeter troch.

ΦΙΛΟΚΤΗΤΗΣ.

στροφὴ ά.

1) Ὦ κοίλας πέτρας γύαλον
2) θερμὸν καὶ παγετῶδες,
3) ὥς σ' οὐκ ἔμελλον ἄρ', ὦ τάλας,
4) λείψειν οὐδέποτ', ἀλλά μοι
5) καὶ θνήσκοντι συνοίσει.
6) οἴμοι μοί μοί.
7) ὦ πληρέστατον αἴλιον
8) λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν,
9) τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ ἔσται;
10) τοῦ ποτὲ τεύξομαι
11) σιτονόμου μέλεος πόθεν ἐλπίδος;
12) ἴθ', αἰθέρος ἄνω
13) πτωκάδες ὀξυτόνου διὰ πνεύματος
14) ἕλωσί μ'· οὐκ ἔτ' ἰσχῶ.

ἀντιστροφὴ ά.

1) ὦ τλάμων, τλάμων ἄρ' ἐγώ
2) καὶ μόχθῳ λωβατός,
3) ὃς*) δὴ μετ' οὐδενὸς ὕστερον
4) ἀνδρῶν εἰσοπίσω τάλας
5) ναίων ἐνθάδ' ὀλοῦμαι,
6) αἰαῖ, αἰαῖ,
7) οἰ φορβὰν ἔτι προσφέρων,
8) οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων
9) κραταιαῖς μετὰ χερσὶν ἰσχων·
10) ἀλλά μοι ἄσκοπα
11) κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός·
12) ἰδοίμαν δέ νιν,
13) τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
14) ἐμὰς λαχόντ' ἀνίας.

---

*) Ex conj. scripsi ὃς δή. (cf. v. 493 et *Wunder* ad v. 1053.)

στροφὴ καὶ ἀντιστροφὴ ά.

1) ⏑ – ⏑ – | ⏑ – ⏑ – | ⏑ ⏑ ⏑ – 1081
2) ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ –
3) ⏑ – ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ –
4) ⏑ – ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ –
5) ⏑ – ⏑ – | ⏑ ⏑ – | ⏑ – 1085
6) ⏑ – | ⏑ –
7) ⏑ – ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ –
8) ⏑ – ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ –
9) ⏑ ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – | – –
10) ⏑ ⏑ – | ⏑ ⏑ – 1090
11) ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ –
12) ⏑ ⏑ | ⏑ ⏑ ⏑ –
13) ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ – | ⏑ ⏑ –
14) ⏑ ⏑ ⏑ – | ⏑ ⏑ –

Strophe et antistrophe ά.

1) Glyconeus.
2) Pherecrateus.
3) Glyconeus polyschematistus.
4) Glyconeus.
5) Pherecrateus.
6) Dimeter dactyl. (spond.)
7) Glyconeus.
8) Idem.
9) Logaoedicus cum basi jamb. (⏑ ⏑ — anap. in str.)
10) Logaoedicus s. Dochmius.
11) Tetrameter dactylicus.
12) Dochmius.
13) Tetrameter dactylicus.
14) Dimeter jambicus catalecticus.

ΧΟΡΟΣ.

στροφὴ β'.

1) σύ τοι, σύ τοι κατηξίωσας,
2) ὦ βαρύποτμ', οὐκ ἄλλοθεν ἔχει τύχᾳ τᾷδ' ἀπὸ μείζονος
3) εὖτέ γε παρὸν φρονῆσαι,
4) τοῦ λῴονος δαίμονος εἶλου τὸ κάκιον ἐλθεῖν.

ἀντιστροφὴ β'.

1) πότμος, πότμος σε δαιμόνων τάδ',
2) ῥὐδέ σε δόλος γ' ἔσχεν ὑπὸ χειρὸς ἐμᾶς· στυγερὰν ἔχε
3) δύσποτμον ἀρὰν ἐπ' ἄλλοις.
4) καὶ γὰρ ἐμοὶ τοῦτο μέλει, μὴ φιλότητ' ἀπώσῃ.

---

v. 1117 ἔσχεν scripsi cum schol.

στροφὴ καὶ ἀντιστροφὴ β'.

1) ˘ ⏑ –, ⏑ – ⏑ –, ⏑ –, ⏑ – 1095

2) ⏑ – ⏑, ⏑ ⏑ – | ⏑ – ⏑ ⏑, ⏑ – ⏑ – | ⏑ – ⏑ ⏑, ⏑ – ⏑ ⏑

3) ⏑ – ⏑ ⏑ | ⏑ – ⏑, – –

4) ⏑ – ⏑ – ⏑ –, ⏑ – ⏑ ⏑ – | ⏑ – ⏑ ⏑, ⏑ – ⏑, – – 1100

Strophe et antistrophe β'.

1) Pentapodia jamb. catal.

2) Monom. troch., Dimeter creticus, Dimeter dact.

3) Creticus, Monom. troch.

4) Dimeter choriambicus, Logaoedicus.

ΦΙΛΟΚΤΗΤΗΣ.

στροφὴ γ'.

οἴμοι μοι· καί που πολιᾶς
πόντου θινὸς ἐφήμενος
γελᾷ μου, χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφάν,
τὰν οὐδείς ποτ' ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ φίλων
χειρῶν ἐκβεβιασμένον,
ἦ που ἐλεινὸν ὁρᾷς, φρένας εἴ τινας
ἔχεις, τὸν Ἡράκλειον
ἄθλιον ὧδέ σοι
οὐκ ἔτι χρησόμενον τὸ μεθύστερον·
ἀλλ' ἐν [γὰρ] μεταλλαγᾷ
πολυμηχάνου ἀνδρὸς ἐρέσσει,
ὁρῶν μὲν αἰσχρὰς ἀπάτας,
στυγνόν τε φῶτ' ἐχθοδοπόν,
μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ', ὅσ' ἐφ' ἡμῖν κάκ'
ἐμήσαθ' [ἀνήρ]. *)

ἀντιστροφὴ γ'.

ὦ πταναὶ θῆραι, χαροπῶν τ'
ἔθνη θηρῶν, οὓς ὅδ' ἔχει
χῶρος οὐρεσιβώτας,
φυγᾷ μ' οὐκ ἔτ' ἀπ' αὐλίων
πελᾶτ'· οὐ γὰρ ἔχω χεροῖν
τὰν πρόσθεν βελέων ἀλκάν,
ὦ δύστανος ἐγὼ τανῦν.
ἀλλ' ἀνέδην (ὅδε χωλὸς ἑρύκεται,
οὐκ ἔτι φοβητὸς ὑμῖν)
ἕρπετε, νῦν καλὸν
ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
ἐμᾶς σαρκὸς αἰόλας.
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.
πόθεν γὰρ ἔσται βιοτά;
τίς ὧδ' ἐν αὔραις τρέφεται,
μηκέτι μηδενὸς κρατύνων ὅσα πέμπει βιόδωρος αἶα;

*) Ex conj. *Hermanni* recepi ἀνήρ. Sensus est: Turpes fraudes videns et durum infestumque virum (Neoptolemum), qui, improbis consiliis

στροφὴ καὶ ἀντιστροφὴ γ'.



Strophe et antistrophe γ.

Glyconeus.
Idem.
Pherecrateus.
Glyconeus.
Idem.
Idem.
Idem.
Tetrameter dactylicus.
Dimeter jambicus catalecticus.
Logaoedicus s. dochmius.
Tetrameter dactylicus.
Anacrusis et basis (s. Bacchius), Dipodia jambica.
Tetrapodia anapaestica catal.
Dipodia jambica, choriambus (s. Glycon. polyschem.)
Idem.
Trimeter choriambicus, clausula logaoedica.

concitatus, ad exitum perducit innumerabilia mala, quae in me ma-
emendavi ex eo, quod Scholiastes tradit.

ΧΟΡΟΣ.

στροφὴ δ'.

1) ἀνδρός τοι τὸ μὲν εὖ δίκαιον εἰπεῖν·
2) εἰπόντος δὲ μὴ φθονερὰν
3) ἐξῶσαι γλώσσας ὀδύναν.
4) κεῖνος δ' εἷς ἀπὸ πολλῶν
5) ταχθεὶς τοῦδ' ἐφημοσύνᾳ.
6) κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγάν.

ἀντιστροφὴ δ'.

1) πρὸς θεῶν, εἴ τι σέβει ξένον, πέλασσον
2) εὐνοίᾳ πάσᾳ πελάταν·
3) ἀλλὰ γνῶθ', εὖ γνῶθ', ὅτι σοί
4) κῆρα τάνδ' ἀποφεύγειν·
5) οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ'
6) ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ.

στροφὴ καὶ ἀντιστροφὴ δ'.

1) ⏑ – | ⏑ – ⏑ ⏑, ⏑ – ⏑, – ⏑, – – 1140
2) ⏑ – | ⏑ ⏑ | ⏑ – ⏑ ⏑ –
3) ⏑ ⏑ | ⏑ – | ⏑ – ⏑ ⏑ –
4) ⏑ ⏑ | ⏑ – ⏑ ⏑, – –
5) ⏑ – | ⏑ ⏑ | ⏑ – ⏑ ⏑ –
6) ⏑ ⏑ – | ⏑ – ⏑ ⏑, ⏑ – ⏑, – ⏑, – – 1145

Strophe et antistrophe δ'.

1) **Phalaeceus hendecasyllabus.**
2) **Glyconeus.**
3) **Idem.**
4) **Pherecrateus.**
5) **Glyconeus.**
6) **Phalaeceus hendecasyllabus.**

Corrigenda.

P. 9. v. 3. scribe _ ⏑ , — ⏑ , — ⏑

P. 16. v. 1. antistr. scribe *πρόσουρος*.